τον· ὁ μὲν γὰρ Πῶλος κατ' εἰρωνείαν ἔλεγε χαλεπὸν ἀντὶ τοῦ εὐχερές, ὁ δὲ Σωκράτης εἰς τὸ ἐναντίον ἄγει τὸν λόγον καὶ λέγει ὅτι χαλεπὸν τὸ ἐλέγξαι, ἐπειδὴ ἀδύνατον.

p. 473 a. φίλον γάρ σε ἡγοῦμαι.

12 ὁ Σωκράτης φίλον ἡγεῖται τὸν Πῶλον, οὐχ ὡς τὰ αὐτὰ αὐτῷ πρεσβεύοντα ἀλλ' ὡς ἄνθρωπον αὐτὸν φιλεῖ διὰ τὴν εὔνοιαν.

p. 473 b. ἀλλ' ἔτι τοῦτο ἐκείνου χαλεπώτερον.

13 πάλιν κατ' εἰρωνείαν, ὅτι μᾶλλον τοῦτο δύναμαι ἐλέγξαι.

p. 473 b. τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

14 ἡ γὰρ ἀλήθεια οὐδέποτε ὑπὸ ἐλέγχου σαλεύεται, ἀλλ' αἰεὶ μένει ἐπὶ τῶν οἰκείων βάθρων σταθερά.

p. 472 d. σὺ ἡγῇ οἷόν τε εἶναι.

15 τὰ ἤδη εἰρημένα πλατυκώτερον ἀνακεφαλαιοῦται ὁ Σωκράτης, πρῶτον μὲν διὰ τὴν μνήμην· εἴωθεν γὰρ τὰ μὲν πλατέως λεγόμενα σαφήνειαν γεννᾶν, τὰ δὲ συντόμως καὶ κεφαλαιωδῶς δεσμεῖν τὴν μνήμην· δεύτερον δὲ καὶ διὰ τὸν Πῶλον, ἵνα ἐξῇ νοῆσαι τὰ παρὰ τοῦ Σωκράτους καὶ προσκορῆ αὐτῷ γένηται καὶ μὴ μέλλῃ, ἐξ ὧν οὐκ εἶπεν ὁ Σωκράτης παραλογίζεσθαι· καὶ γὰρ ἐν τοῖς προλαβοῦσι πολλάκις ἃ μὴ δέδωκεν ὁ Σωκράτης, ὁ Πῶλος ὡς δεδομένα ἔλαβεν· ἀναγκάζεται οὖν τὰ αὐτὰ λέγειν, ἵνα γνῷ ὁ Πῶλος ἀκριβῶς τὰ παρ' αὐτοῦ διδόμενα καὶ μὴ παραλογίζηται ἑαυτόν, οὐ γὰρ τὸν Σωκράτην λαμβάνων προτάσεις, ἃς Σωκράτης οὐχ ὁμολογεῖ.

---

10 mg. ση.

---

14 πλατυκώτερον scripsi, πλατικώτερον M